17 a I. Ὅτι μὲν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, πεπόνθατε ὑπὸ τῶν
ἐμῶν κατηγόρων, οὐκ οἶδα· ἐγὼ δ᾽ οὖν καὶ αὐτὸς ὑπ᾽ αὐτῶν
ὀλίγου ἐμαυτοῦ ἐπελαθόμην, οὕτω πιθανῶς ἔλεγον. καίτοι
ἀληθές γε ὡς ἔπος εἰπεῖν οὐδὲν εἰρήκασιν. μάλιστα δὲ
αὐτῶν ἓν ἐθαύμασα τῶν πολλῶν ὧν ἐψεύσαντο, τοῦτο ἐν ᾧ
ἔλεγον ὡς χρῆ ὑμᾶς εὐλαβεῖσθαι μὴ ὑπ᾽ ἐμοῦ ἐξαπατηθῆτε
b ὡς δεινοῦ ὄντος λέγειν. τὸ γὰρ μὴ αἰσχυνθῆναι ὅτι αὐτίκα
ὑπ᾽ ἐμοῦ ἐξελεγχθήσονται ἔργῳ, ἐπειδὰν μηδ᾽ ὁπωστιοῦν
φαίνωμαι δεινὸς λέγειν, τοῦτό μοι ἔδοξεν αὐτῶν ἀναισχυν-
τότατον εἶναι, εἰ μὴ ἄρα δεινὸν καλοῦσιν οὗτοι λέγειν τὸν
τἀληθῆ λέγοντα· εἰ μὲν γὰρ τοῦτο λέγουσιν, ὁμολογοίην ἂν
ἔγωγε οὐ κατὰ τούτους εἶναι ῥήτωρ. οὗτοι μὲν οὖν, ὥσπερ
ἐγὼ λέγω, ἤ τι ἢ οὐδὲν ἀληθὲς εἰρήκασιν, ὑμεῖς δέ μου ἀκού-
σεσθε πᾶσαν τὴν ἀλήθειαν – οὐ μέντοι μὰ Δία, ὦ ἄνδρες
Ἀθηναῖοι, κεκαλλιεπημένους γε λόγους, ὥσπερ οἱ τούτων,
c ῥήμασί τε καὶ ὀνόμασιν οὐδὲ κεκοσμημένους, ἀλλ᾽ ἀκού-
σεσθε εἰκῇ λεγόμενα τοῖς ἐπιτυχοῦσιν ὀνόμασιν – πιστεύω
γὰρ δίκαια εἶναι ἃ λέγω – καὶ μηδεὶς ὑμῶν προσδοκησάτω
ἄλλως· οὐδὲ γὰρ ἂν δήπου πρέποι, ὦ ἄνδρες, τῇδε τῇ
ἡλικίᾳ ὥσπερ μειρακίῳ πλάττοντι λόγους εἰς ὑμᾶς εἰσιέναι.
καὶ μέντοι καὶ πάνυ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο ὑμῶν δέομαι
καὶ παρίεμαι· ἐὰν διὰ τῶν αὐτῶν λόγων ἀκούητέ μου ἀπο-
λογουμένου δι᾽ ὧνπερ εἴωθα λέγειν καὶ ἐν ἀγορᾷ ἐπὶ τῶν
τραπεζῶν, ἵνα ὑμῶν πολλοὶ ἀκηκόασι, καὶ ἄλλοθι, μήτε
d θαυμάζειν μήτε θορυβεῖν τούτου ἕνεκα. ἔχει γὰρ οὑτωσί·
νῦν ἐγὼ πρῶτον ἐπὶ δικαστήριον ἀναβέβηκα, ἔτη γεγονὼς
ἑβδομήκοντα· ἀτεχνῶς οὖν ξένως ἔχω τῆς ἐνθάδε λέξεως.
ὥσπερ οὖν ἄν, εἰ τῷ ὄντι ξένος ἐτύγχανον ὤν, συνεγιγνώ-
σκετε δήπου ἄν μοι εἰ ἐν ἐκείνῃ τῇ φωνῇ τε καὶ τῷ τρόπῳ
18 a ἔλεγον ἐν οἷσπερ ἐτεθράμμην, καὶ δὴ καὶ νῦν τοῦτο ὑμῶν

## *1. dio: Govor u svoju obranu*

I. Ne znam kakav su dojam, građani atenski,[1] na vas 17 a
ostavili moji tužitelji, ali ja sam zbog njih umalo zabo-
ravio tko sam, tako su uvjerljivo govorili. Ipak, gotovo
ništa istinito nisu rekli. No od svega što su slagali najvi-
še me je začudila jedna stvar, naime ono kad su rekli da
morate biti na oprezu kako vas ne bih zavarao, jer sam
tobože vješt na riječima. Naime, to što se nisu pobojali b
da ću ih odmah djelom opovrgnuti, jer će se odmah po-
kazati da ja uopće nisam vješt na riječima – to mi se uči-
nilo vrhuncem njihove bestidnosti, osim možda ako pod
„vještim na riječima“ ne misle na onoga koji govori istinu.
Jer ako to misle, ja bih se odmah složio da nisam govor-
nik njihova kova. Kao što rekoh, dakle, oni nisu rekli go-
tovo ništa istinito, a od mene ćete čuti čitavu istinu – ali,
kunem vam se Zeusom, građani atenski, od mene nećete
čuti uljepšane govore poput njihovih, ukrašene biranim c
riječima, nego spontane rečenice izgovorene običnim rije-
čima, jer vjerujem u ispravnost onoga što govorim, i neka
se nitko ne nada da će biti drukčije. Osim toga, ne bi bilo ni
prikladno, građani, u mojim godinama pred vas izlaziti s
unaprijed pripremljenim govorom poput kakva dječarca.[2]
I zato vas, građani atenski, molim i preklinjem da se ne
čudite i ne bunite što ću se braniti istim onim riječima ko-
jima se obično služim na trgu kod tezgi,[3] gdje su me mnogi
od vas znali slušati, ali i drugdje. Stvar je, naime, u tome da d
ja danas, s navršenih sedamdeset godina, prvi put izlazim
pred sud, tako da mi je sudski način govora posve stran.
I kao što biste mi, da sam kojim slučajem stranac, valjda
oprostili ako bih govorio onim narječjem i na onaj način
kako su me odgojili, sad mogu s pravom, kako mi se čini, 18 a

δέομαι δίκαιον, ὥς γέ μοι δοκῶ, τὸν μὲν τρόπον τῆς λέξεως ἐᾶν – ἴσως μὲν γὰρ χείρων, ἴσως δὲ βελτίων ἂν εἴη – αὐτὸ δὲ τοῦτο σκοπεῖν καὶ τούτῳ τὸν νοῦν προσέχειν, εἰ δίκαια λέγω ἢ μή· δικαστοῦ μὲν γὰρ αὕτη ἀρετή, ῥήτορος δὲ τἀληθῆ λέγειν.

II. Πρῶτον μὲν οὖν δίκαιός εἰμι ἀπολογήσασθαι, ὦ ἄνδρες
Ἀθηναῖοι, πρὸς τὰ πρῶτά μου ψευδῆ κατηγορημένα καὶ τοὺς
πρώτους κατηγόρους, ἔπειτα δὲ πρὸς τὰ ὕστερα καὶ τοὺς
b ὑστέρους. ἐμοῦ γὰρ πολλοὶ κατήγοροι γεγόνασι πρὸς ὑμᾶς
καὶ πάλαι πολλὰ ἤδη ἔτη καὶ οὐδὲν ἀληθὲς λέγοντες, οὓς
ἐγὼ μᾶλλον φοβοῦμαι ἢ τοὺς ἀμφὶ Ἄνυτον, καίπερ ὄντας
καὶ τούτους δεινούς· ἀλλ' ἐκεῖνοι δεινότεροι, ὦ ἄνδρες, οἳ
ὑμῶν τοὺς πολλοὺς ἐκ παίδων παραλαμβάνοντες ἔπειθόν
τε καὶ κατηγόρουν ἐμοῦ μᾶλλον οὐδὲν ἀληθές, ὡς ἔστιν τις
Σωκράτης, σοφὸς ἀνήρ, τά τε μετέωρα φροντιστὴς καὶ τὰ
ὑπὸ γῆς πάντα ἀνεζητηκὼς καὶ τὸν ἥττω λόγον κρείττω
c ποιῶν. οὗτοι, ὦ ἄνδρες Ἀθηναῖοι, οἱ ταύτην τὴν φήμην
κατασκεδάσαντες, οἱ δεινοί εἰσίν μου κατήγοροι· οἱ γὰρ
ἀκούοντες ἡγοῦνται τοὺς ταῦτα ζητοῦντας οὐδὲ θεοὺς νομίζειν.
ἔπειτά εἰσιν οὗτοι οἱ κατήγοροι πολλοὶ καὶ πολὺν χρόνον
ἤδη κατηγορηκότες, ἔτι δὲ καὶ ἐν ταύτῃ τῇ ἡλικίᾳ λέγοντες
πρὸς ὑμᾶς ἐν ᾗ ἂν μάλιστα ἐπιστεύσατε, παῖδες ὄντες ἔνιοι
ὑμῶν καὶ μειράκια, ἀτεχνῶς ἐρήμην κατηγοροῦντες ἀπολο-
γουμένου οὐδενός. ὃ δὲ πάντων ἀλογώτατον, ὅτι οὐδὲ τὰ
d ὀνόματα οἷόν τε αὐτῶν εἰδέναι καὶ εἰπεῖν, πλὴν εἴ τις
κωμῳδοποιὸς τυγχάνει ὤν. ὅσοι δὲ φθόνῳ καὶ διαβολῇ
χρώμενοι ὑμᾶς ἀνέπειθον – οἱ δὲ καὶ αὐτοὶ πεπεισμένοι
ἄλλους πείθοντες – οὗτοι πάντες ἀπορώτατοί εἰσιν· οὐδὲ γὰρ
ἀναβιβάσασθαι οἷόν τ' ἐστὶν αὐτῶν ἐνταυθοῖ οὐδ' ἐλέγξαι
οὐδένα, ἀλλ' ἀνάγκη ἀτεχνῶς ὥσπερ σκιαμαχεῖν ἀπολογού-
μενόν τε καὶ ἐλέγχειν μηδενὸς ἀποκρινομένου. ἀξιώσατε
οὖν καὶ ὑμεῖς, ὥσπερ ἐγὼ λέγω, διττούς μου τοὺς κατηγόρους

od vas zatražiti da zanemarite moj način govora – možda bi se to moglo pokazati lošijim, ali možda i boljim – te da svu pažnju usmjerite samo na to govorim li pravo ili ne, jer je to vrlina suca, dok je vrlina govornika kazivati istinu.

II. Najprije se moram obraniti, građanski atenski, od
ranijih lažnih optužbi protiv mene i ranijih tužitelja,
a tek potom protiv kasnijih lažnih optužbi i kasnijih
tužitelja. Naime, mnogo je ljudi koji vam govore protiv b
mene već dugo vremena, iako ništa istinitog ne kazuju.
Njih se ja bojim više nego Anita i njegove družbe, iako
su i ti opasni. Ali opasniji su oni, građani, koji mnogima
od vas od najranije mladosti pune uši optužbama protiv
mene koje nemaju nikakve veze s istinom, primjerice da
ima neki Sokrat, mudar čovjek, istraživač nebeskih pojava
koji je podzemne pojave već sve proučio i koji slabiji govor
čini jačim.[4] Ti ljudi, građani atenski, koji su takav glas pro- c
nijeli, to su moji doista opasni tužitelji, jer tko ih čuje pomisli
da oni koji istražuju takve stvari ni u bogove ne vjeruju.[5] Na-
dalje, takvih je tužitelja mnogo i već dugo šire te optužbe, a k
tome vi ste bili još dječaci ili mladići kad su vam to govorili,
dakle u dobi kad je čovjek najskloniji povjerovati im na riječ,
tako da je uspjeh njihove tužbe bio zajamčen, jer nije bilo ni-
koga da se brani.[6] A što je najapsurdnije od svega, ni njihova
imena nije moguće doznati i navesti, osim ako je tko od njih d
slučajno pisac komedija.[7] Oni pak koji su vas obmanjivali
služeći se zlobom i klevetom – pa i oni koji su povjerovavši
u laž krenuli druge u nju uvjeravati – ti su osobito nezgodni,
jer nikoga od njih nije moguće prizvati na sud i ispitivanjem
opovrgnuti, nego je čovjek primoran takoreći boriti se sa
sjenkama dok iznosi obranu i ispitivati iako nema nikoga da
odgovara. Sad i sami uviđate da ja protiv sebe imam dvije

γεγονέναι, ἑτέρους μὲν τοὺς ἄρτι κατηγορήσαντας, ἑτέρους δὲ
e τοὺς πάλαι οὓς ἐγὼ λέγω, καὶ οἰήθητε δεῖν πρὸς ἐκείνους
πρῶτόν με ἀπολογήσασθαι· καὶ γὰρ ὑμεῖς ἐκείνων πρότερον
ἠκούσατε κατηγορούντων καὶ πολὺ μᾶλλον ἢ τῶνδε τῶν
ὕστερον.

Εἶεν· ἀπολογητέον δή, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐπιχειρη-
19 a τέον ὑμῶν ἐξελέσθαι τὴν διαβολὴν ἣν ὑμεῖς ἐν πολλῷ χρόνῳ
ἔσχετε ταύτην ἐν οὕτως ὀλίγῳ χρόνῳ. βουλοίμην μὲν οὖν
ἂν τοῦτο οὕτως γενέσθαι, εἴ τι ἄμεινον καὶ ὑμῖν καὶ ἐμοί,
καὶ πλέον τί με ποιῆσαι ἀπολογούμενον· οἶμαι δὲ αὐτὸ
χαλεπὸν εἶναι, καὶ οὐ πάνυ με λανθάνει οἷόν ἐστιν. ὅμως
τοῦτο μὲν ἴτω ὅπῃ τῷ θεῷ φίλον, τῷ δὲ νόμῳ πειστέον καὶ
ἀπολογητέον.

III. Ἀναλάβωμεν οὖν ἐξ ἀρχῆς τίς ἡ κατηγορία ἐστὶν ἐξ ἧς
b ἡ ἐμὴ διαβολὴ γέγονεν, ᾗ δὴ καὶ πιστεύων Μέλητός με ἐγρά-
ψατο τὴν γραφὴν ταύτην. εἶεν· τί δὴ λέγοντες διέβαλλον
οἱ διαβάλλοντες; ὥσπερ οὖν κατηγόρων τὴν ἀντωμοσίαν
δεῖ ἀναγνῶναι αὐτῶν· „Σωκράτης ἀδικεῖ καὶ περιεργάζεται
ζητῶν τά τε ὑπὸ γῆς καὶ οὐράνια καὶ τὸν ἥττω λόγον κρείττω
c ποιῶν καὶ ἄλλους ταὐτὰ ταῦτα διδάσκων.“ τοιαύτη τίς ἐστιν·
ταῦτα γὰρ ἑωρᾶτε καὶ αὐτοὶ ἐν τῇ Ἀριστοφάνους κωμῳδίᾳ,
Σωκράτη τινὰ ἐκεῖ περιφερόμενον, φάσκοντά τε ἀεροβατεῖν
καὶ ἄλλην πολλὴν φλυαρίαν φλυαροῦντα, ὧν ἐγὼ οὐδὲν οὔτε
μέγα οὔτε μικρὸν πέρι ἐπαΐω. καὶ οὐχ ὡς ἀτιμάζων λέγω
τὴν τοιαύτην ἐπιστήμην, εἴ τις περὶ τῶν τοιούτων σοφός
ἐστιν – μή πως ἐγὼ ὑπὸ Μελήτου τοσαύτας δίκας φεύγοιμι –
ἀλλὰ γὰρ ἐμοὶ τούτων, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδὲν μέτεστιν.
d μάρτυρας δὲ αὖ ὑμῶν τοὺς πολλοὺς παρέχομαι, καὶ ἀξιῶ
ὑμᾶς ἀλλήλους διδάσκειν τε καὶ φράζειν – ὅσοι ἐμοῦ πώποτε
ἀκηκόατε διαλεγομένου, πολλοὶ δὲ ὑμῶν οἱ τοιοῦτοί εἰσιν,
φράζετε οὖν ἀλλήλοις εἰ πώποτε ἢ μικρὸν ἢ μέγα ἤκουσέ
τις ὑμῶν ἐμοῦ περὶ τῶν τοιούτων διαλεγομένου, καὶ ἐκ

vrste tužitelja, kao što rekoh – jedne ove koji su me sada op-
tužili, a druge one davnašnje koje sam maločas opisao – pa e
razumijete da se najprije protiv njih moram obraniti. Uosta-
lom, i vi ste najprije njih čuli kako me optužuju, i to mnogo
češće nego ove ovdje kasnije tužitelje.

U redu, valja mi se onda braniti, građani atenski, i
pokušati u ovako malo vremena izbiti vam iz glave tu kle- 19 a
vetu koju ste nakon dugo vremena usvojili. Volio bih da u
tome i uspijem, ako je to bolje i za vas i za mene, te da svojom
obranom nešto postignem. Ali držim da to nije lako; što-
više, potpuno sam svjestan koliko je teško. No neka stvari
idu kako je bogu milo, a zakon treba poštivati i i na sudu se
braniti.

III. Razmotrimo ispočetka kako glasi ta optužba zbog koje
je došlo do klevete protiv mene i na koju je Melet nasjeo b
kad je protiv mene podnio ovu tužbu. Što su, dakle, kle-
vetnici iznosili u svojim klevetama? Njihovu optužbu tre-
ba navesti kao da je od pravih tužitelja: *Sokrat je kriv i krši
norme jer istražuje podzemne i nebeske pojave, slabiji govor
čini jačim te u svemu tome poučava i druge*. Tako nekako c
glasi. Uostalom, to ste i sami mogli vidjeti u Aristofano-
voj komediji – tamo neki Sokrat nošen u košari govori da
„zrakohodi“[8] i blebeće mnoge druge stvari u koje se ja ni
najmanje ne razumijem. Pritom ne želim podcjenjivati tu
vrstu znanja, ako postoji netko tko doista zna takve stvari
– da se ne bih morao braniti i od takve Meletove optužbe!
– ali ja vam, građani atenski, s tim nemam nikakve veze.
Za to su mi svjedoci opet mnogi od vas, pa molim da jed- d
ni drugima lijepo objasnite – oni koji su me ikad slušali
kako raspravljam, a mnogo je takvih među vama, neka
kažu jedni drugima je li itko od vas ikada od mene čuo
da i najmanje raspravljam o tim stvarima. Odatle će vam

τούτου γνώσεσθε ὅτι τοιαῦτ᾽ ἐστὶ καὶ τἆλλα περὶ ἐμοῦ ἃ οἱ πολλοὶ λέγουσιν.

IV. Ἀλλὰ γὰρ οὔτε τούτων οὐδέν ἐστιν, οὐδέ γ᾽ εἴ τινος
ἀκηκόατε ὡς ἐγὼ παιδεύειν ἐπιχειρῶ ἀνθρώπους καὶ χρήματα
e πράττομαι, οὐδὲ τοῦτο ἀληθές. ἐπεὶ καὶ τοῦτό γέ μοι δοκεῖ
καλὸν εἶναι, εἴ τις οἷός τ᾽ εἴη παιδεύειν ἀνθρώπους ὥσπερ
Γοργίας τε ὁ Λεοντῖνος καὶ Πρόδικος ὁ Κεῖος καὶ Ἱππίας ὁ
Ἠλεῖος. τούτων γὰρ ἕκαστος, ὦ ἄνδρες, οἷός τ᾽ ἐστὶν ἰὼν
εἰς ἑκάστην τῶν πόλεων τοὺς νέους – οἷς ἔξεστι τῶν ἑαυτῶν
πολιτῶν προῖκα συνεῖναι ᾧ ἂν βούλωνται – τούτους πείθουσι
20 a τὰς ἐκείνων συνουσίας ἀπολιπόντας σφίσιν συνεῖναι χρή-
ματα διδόντας καὶ χάριν προσειδέναι. ἐπεὶ καὶ ἄλλος ἀνήρ
ἐστι Πάριος ἐνθάδε σοφὸς ὃν ἐγὼ ᾐσθόμην ἐπιδημοῦντα·
ἔτυχον γὰρ προσελθὼν ἀνδρὶ ὃς τετέλεκε χρήματα σοφισταῖς
πλείω ἢ σύμπαντες οἱ ἄλλοι, Καλλίᾳ τῷ Ἱππονίκου· τοῦτον
οὖν ἀνηρόμην – ἐστὸν γὰρ αὐτῷ δύο ὑεῖ – „Ὦ Καλλία,“ ἦν
δ᾽ ἐγώ, „εἰ μέν σου τὼ ὑεῖ πώλω ἢ μόσχω ἐγενέσθην,
εἴχομεν ἂν αὐτοῖν ἐπιστάτην λαβεῖν καὶ μισθώσασθαι ὃς
b ἔμελλεν αὐτὼ καλώ τε κἀγαθὼ ποιήσειν τὴν προσήκουσαν
ἀρετήν, ἦν δ᾽ ἂν οὗτος ἢ τῶν ἱππικῶν τις ἢ τῶν γεωργικῶν·
νῦν δ᾽ ἐπειδὴ ἀνθρώπω ἐστόν, τίνα αὐτοῖν ἐν νῷ ἔχεις
ἐπιστάτην λαβεῖν; τίς τῆς τοιαύτης ἀρετῆς, τῆς ἀνθρωπίνης
τε καὶ πολιτικῆς, ἐπιστήμων ἐστίν; οἶμαι γάρ σε ἐσκέφθαι
διὰ τὴν τῶν ὑέων κτῆσιν. ἔστιν τις,“ ἔφην ἐγώ, „ἢ οὔ;“
„Πάνυ γε,“ ἦ δ᾽ ὅς.
„Τίς,“ ἦν δ᾽ ἐγώ, „καὶ ποδαπός, καὶ |πόσου διδάσκει;“
„Εὔηνος,“ ἔφη, „ὦ Σώκρατες, Πάριος, |πέντε μνῶν.“
καὶ ἐγὼ τὸν Εὔηνον ἐμακάρισα εἰ ὡς ἀληθῶς ἔχοι
c ταύτην τὴν τέχνην καὶ οὕτως ἐμμελῶς διδάσκει. ἐγὼ γοῦν
καὶ αὐτὸς ἐκαλλυνόμην τε καὶ ἡβρυνόμην ἂν εἰ ἠπιστάμην
ταῦτα· ἀλλ᾽ οὐ γὰρ ἐπίσταμαι, ὦ ἄνδρες Ἀθηναῖοι.

biti jasno da je isto i s ostalim glasinama koje ljudi o meni šire.

IV. Ništa od toga, dakle, nije istina, a niti ako ste od
koga čuli da ja nastojim obrazovati ljude i tako zarađivati
novac, ni to nije istina. Iako mi se čini da je i to lijepo ako e
je netko sposoban obrazovati druge, kao na primjer Gor-
gija iz Leontina, Prodik iz Keja ili Hipija iz Elide.[9] Naime,
putujući od grada do grada, svaki od tih ljudi sposoban je
nagovoriti tamošnje mladiće da napuste svoje sugrađa-
ne, u čijem društvu inače mogu dobiti besplatnu pouku,
i da pouku potraže u društvu onih ljudi koji za to tra- 20 a
že novac i izraze zahvalnosti. A ima još jedan mudrac,
s otoka Para, za kojega sam čuo da je doputovao ova-
mo, jer sam slučajno sreo čovjeka koji je sofistima ispla-
tio više novaca nego svi ostali zajedno: radi se o Kaliji,
sinu Hiponikovu.[10] Budući da ima dva sina, upitao sam
ga: „Kalija, da su tvoji sinovi ždrebići ili telići, ti bi im za-
sigurno unajmio odgajatelja koji bi imao zadaću da ih
učini izvrsnima i usadi im odgovarajuću vrlinu,[11] a to bi za- b
cijelo bio neki konjušar odnosno seljak. No budući da su ti
sinovi ljudska bića, koga si im naumio uzeti za odgajatelja?
Tko je stručnjak za vrlinu koja krasi čovjeka i građanina?
Pretpostavljam da si o tome već razmislio kad imaš sinove.
Ima li tko takav ili nema?“ upitao sam.

„Naravno da ima,“ odgovori on.

„A tko je taj?“, nastavih ja, „odakle je i za koliko poučava?“
„Euen, Sokrate, s otoka Para,“ reče on, „a poučava za pet
mina.“[12] Blago li tom Euenu,[13] pomislio sam, ako je uistinu
u tome umješan i za tako male novce poučava. Ja bih se i c
sâm pravio važan i okolo dičio kad bih u tome bio stručan.
Ali ja to zaista nisam, građani atenski.